eul_wid: rhq-ao

*Δίων ὁ Κάσσιος ὁ Κοκκηϊανός* · Dio Cassius of Nicaea

# Remains of Uncertain Position

## *Λείψανα Ἀβέβαιου Θέσεως*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Ἀττικίζουσα* Atticizing
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

1 t EX TZETZAE SCHOLIIS IN LYCOPHRONIS ALEXANDRAM. Αὐσονία δὲ κυρίως, ὡς Δίων γράφει 〈ὁ〉 Κοκκειανός, ἡ τῶν Αὐρούγκων γῆ μόνη λέγεται, μέσον Καμπανῶν καὶ Οὐόλσκων παρὰ θάλασσαν κειμένη.

1 2,1col1 συχνοὶ δὲ καὶ μέχρι τοῦ Λατίου Αὐσονίαν εἶναι ἐνόμισαν, ὥστε καὶ πᾶσαν τὴν Ἰταλίαν ἀπ’ αὐτῆς ........ Tzetz. in Lycophr. 44. Αὔσονες γὰρ κυρίως, ὥσπερ καὶ περὶ τὰς ἀρχὰς ἔφην, οἱ Αὐροῦγκοι λέγονται μέσον Καμπανῶν καὶ Οὐόλκων κείμενοι. [5]

1 2,1col2 ἔνιοι δὲ καὶ μέχρι Λατίου Αὐσονίαν ἐνόμισαν εἶναι, ὥστε ἐκ τούτου τινὲς καὶ πᾶσαν τὴν Ἰταλίαν φασίν. Tzetz. in Lycophr. 615. ἔνθα νῦν ἡ Ῥώμη ἐστί, χωρίον ἦν πρῶτον λεγόμενον Οἴνωτρον, ὅπου ὁ Φιλοκτήτης κατῴκησε μετὰ τὴν τῆς Ἰλίου πόρθησιν, καθὰ Διονύσιος καὶ Δίων ὁ Κοκκειανὸς καὶ πάντες οἱ τὰ Ῥωμαϊκὰ γράψαντες ἱστοροῦσιν. [5]

1 2,2 Tzetz. in Lycophr. 912. EX ANONYMO ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ (BEKK.

2 t ANECD.). Δίων “εὐεργεσίαν ὑμῖν ὀφειλήσει”.

2 1 Bekk. Anecd. 160 17. παρὰ Δίωνι “οὔκουν οὐδ’ ἄρχοντες πρὶν διανομοθετηθῆναι αὐτῶν ὠνομάζοντο”.

2 2 Ibid. p. 164 11. Δίων “οὐχ ὅπως ἐπείσθησαν αὐτοῦ”.

2 3 Ibid. p. 164 23. Δίωνος ιθ′ βιβλίῳ “καὶ τούς τε ἀντεπεξελθόντας οἱ ἀνέκοψαν”.

2 4 Ibid. p. 124 7. Δίων ιθ′ βιβλίῳ “Ταραντῖνοι μὲν οὖν οὐδὲν οὐδὲ ἐκείνου προτιμήσαντες”.

2 5 Ibid. p. 165 21. Δίων ιθ′ βιβλίῳ “ῥᾷον καὶ τὰ λοιπὰ προσκατεργάσασθαι”.

2 6 Ibid. p. 166 11. Δίων κβ′ βιβλίῳ “ὧν τὰ μὲν βίᾳ ᾕρει, τὰ δὲ καὶ ὁμολογίᾳ παρίστατο”.

2 7 Ibid. p. 166 5. Δίων ν′ βιβλίῳ “ἐφ’ ᾧ καὶ τήν τε χώραν σφῶν παντελῶς ἐκλίπωσιν”.

2 8 Ibid. p. 140 17. Δίων μς′ βιβλίῳ “καὶ οἱ ἵπποι τοῖς στρατιώταις ὑπούργησαν”.

2 9 Ibid. p. 117 32. EX FLORILEGIO.

3 1 ἀδύνατον γάρ ἐστι τἀναντία τινὰ τοῖς [οὐκ] ὀρθῶς ἔχουσι πράττοντα καὶ ἀγαθοῦ τινος ἀπ’ αὐτῶν ἀπολαῦσαι. Max. Conf. Flor. f. 7 r (M. p. 562 [ex Arsenio]). οὐ γὰρ αἱ ἐπικλήσεις καὶ τοὺς τρόπους τῶν ἀνθρώπων μεταβάλλουσιν, ἀλλ’ ὅπως ἄν τις τὰ πράγματα μεταχειρίζηται, τοιαύτας καὶ ἐκείνας δοκεῖν εἶναι ποιεῖ· καὶ πολλοὶ μὲν μοναρχοῦντες ἀγαθῶν αἴτιοι τοῖς

ἀρχομένοις γίγνονται, διὸ καὶ βασιλεία τὸ τοιοῦτον ὀνομάζεται, πολλοὶ δὲ δημοκρατούμενοι μυρία κακὰ αὑτοὺς ἐργάζονται.

32 Max. Conf. Flor. f. 50 v (M. p. 556). πέφυκεν γὰρ ὡς ἀεὶ πρὸς τὰς γνώμας τῶν ἀρχόντων τυποῦσθαι καὶ τὸ ὑποχείριον.

33 Max. Conf. Flor. f. 51 r (M. p. 560 [ex Antonii melissa]). οὐδὲν γὰρ καὶ στράτευμα καὶ τἆλλα πάντα ὅσα ἀρχῆς τινος δεῖται 〈οὕτωσ〉 οὔτε ἐπὶ τὸ χεῖρον οὔτε ἐπὶ τὸ κρεῖττον προάγει ὡς ὅ τε τρόπος καὶ ἡ δίαιτα τοῦ ἐπιστατοῦντος αὐτῶν· πρὸς γὰρ τὰς γνώμας τάς τε πράξεις τῶν ἡγουμένων σφίσιν οἱ πολλοὶ ἐξομοιοῦνται, καὶ ὁποῖα ἂν ἐκείνους δρῶντας ἴδωσι, τοιαῦτα καὶ αὐτοὶ οἱ μὲν ὡς ἀληθῶς οἱ δὲ καὶ προσποιούμενοι πράττουσιν.

34 Max. Conf. Flor. f. 51 r (M. p. 556). φιλεῖ πως λυπεῖν μᾶλλόν τινας τῶν μὴ προσδοκηθέντων ἀρχὴν ὅσα ἂν ἐν ἐλπίδι γενόμενα διαπέσῃ· τὰ μὲν γὰρ πόρρω σφῶν νομίζοντες εἶναι ἧττον αὐτῶν ὡς καὶ ἀλλοτρίων ἐφίενται, τῶν δὲ ἐγγὺς ἐλθόντες ἄχθονται ὡς καὶ οἰκείων στερόμενοι.

35 Max. Conf. Flor. f. 160 r (M. p. 558). πολλῷ κρεῖττόν ἐστι κατορθώσαντάς τι ζηλοτυπηθῆναι ἢ πταίσαντας ἐλεηθῆναι.

36 Arsenii Anth. (M. ib.)

Eulogikon public reading copy · View original HTML at eulogikon.org